Αἰσχ. Ἐλθεῖν μὲν ἐς γῆν ἔσθ' ὅτῳ μετῇ πάτρας.
Χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθε.
Φεύγων δ' ἀνὴρ, ἥκει τε καὶ κατέρχεται.
Δι. Εὖ νὴ τὸν Ἀπόλλω. τί σὺ λέγεις Εὐριπίδη;
Εὐ. Οὔ φημι τὸν Ὀρέστην κατελθεῖν οἴκαδε.
Λάθρᾳ γὰρ ἦλθεν, οὐ πιθὼν τοὺς κυρίους.
Δι. Εὖ νὴ τὸν Ἑρμῆν. ὅτι λέγεις δ', οὐ μανθάνω.
Εὐ. Πέραινε τοίνυν ἕτερον. Δι. ἴθι πέραινε σὺ
Αἰσχύλ' ἀνύσας. σὺ δ' ἐς τὸ κακὸν ἀπόβλεπε.
Αἰσχ. Τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
Κλύειν ἀκοῦσαι. Εὐ. τοῦθ' ἕτερον αὖθις λέγει,
Κλύειν ἀκοῦσαι, ταὐτὸν ὂν σαφέστατα.
Δι. Τεθνηκόσι γὰρ ἔλεγεν, ὦ μόχθηρε σύ.
Οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.
Αἰσχ. Σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους; Εὐ. ἐγὼ φράσω,
Κἄν που δὶς εἴπω ταὐτὸν, ἢ στοιβὴν ἴδῃς
Ἐνοῦσαν, ἔξω τοῦ λόγου, κατάπτυσον.
Δι. Ἴθι δὴ λέγ'. οὐ γάρ μοὐστὶν. ἀλλ' ἀκουστέα,
Τῶν σῶν προλόγων τῆς ὀρθότητος τῶν ἐπῶν.
Εὐ. Ἦν Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ.
Αἰσχ. Μὰ τὸν Δί', οὐ δῆτ', ἀλλὰ κακοδαίμων φύσει,
Ὅν τινά γε πρὶν μὲν ἢ φῦναι Ἀπόλλων ἔφη,
Ἀποκτενεῖν τὸν πατέρα πρὶν καὶ γεγονέναι,
Πῶς οὗτος ἦν τὸ πρῶτον εὐτυχὴς ἀνήρ;
Εὐριπ. Εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.
Αἰσχ. Μὰ τὸν Δί' οὐ δῆτ', οὐ μὲν οὖν ἐπαύσατο.
Πῶς γάρ; ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμενον
Χειμῶνος ὄντος ἐξέθεσαν ἐν ὀστράκῳ,
Ἵνα μὴ 'κτραφεὶς γένοιτο τοῦ πατρὸς φονεύς.

A *Æs. Venire in terram est, cùm quis patriæ particeps*
*Redditur. Etenim absque clade domum reuertitur.*
*At exul in patriam venit postliminio.*
BA. *Benè per Phœbum quid ad hæc dicis, tu Euripides?*
*EV. Non dico Orestem reuenire hoc loco domum.*
B *Quoniam clanculum, & inconsultis dominis redit.*
BA. *Bellè. sed ego, quid dicas non intelligo.*
*EV. Transi nunc ad aliud.* BA. *age transi tu Æschyle,*
*Et propera: tu verò obserua, vbi vitium siet.*
*Æs. Sepulcri in ora isthæc renuncio patri,*
C *Vt audiat & auscultet. EV. hoc nunc alterum:*
*Audire enim & auscultare prorsus sunt idem.*
BA. *Quia mortuis loquebatur, fatue, quibus*
*Si ter dicamus, vix exaudimur tamen.*
*Æs. Quomodo verò tu faciebas prologos? EV. ego*
*Dicam. sicubi bis idem dixero, & si videris*
*Tantillum inesse extra propositum, despue.*
D BA. *Dic tu. nam meum hoc non est: sed carminum*
*Tuorum, in prologis, audiendus mihi nitor.*
*EV. Erat Oedipus vir primò felicissimus.*
*Æs. Non per Iouem, sed omnium miserrimus;*
*De quo prædixerat Apollinis oraculum:*
*Priusquam natus fuit, occisurum patrem.*
*Quomodo igitur hic initio vir felix fuit?*
*EV. Postea hominum repentè fuit miserrimus.*
E *Æs. Non per Iouem: nam haud vnquam miser esse desiit.*
*Quomodo enim? cùm primùm recens ipsum editum*
*In testa exposuerint, instanti frigore,*
*Ne enutritus, fieret interfector patris.*

Σχόλια. Ἐλθεῖν μὲν ἐς γῆν. ] ἐλθεῖν μὲν εἰς τὴν πόλιν, ὅταν μετῇ τινὶ τῆς πατρίδος. ὅταν δὲ φυγὰς ἔλ- F θῃ, τότε καὶ κατέρχεται. ἰδίως γὰρ ἐπὶ τῶν φυγάδων χρῶνται τῷ κατέρχεται. Οὐ πιθών. ] διὰ τοῦ ι γραπτέον καὶ ὀξυτονητέον τὸ πιθών. ἵνα ᾖ δευτέρου ἀορίστου καὶ μέλλοντος. τοῦτο δὲ ὅτι οἱ τὰς διώξεις ποιοῦντες, οἱ αὐτοὶ τοὺς ὑπομείναντας ἐπανάγουσι. Σὺ δ' ἐς τὸ κακόν. ] ἀντὶ τοῦ παρατήρει τὸ κακῶς λεγόμενον. τὸ δὲ τύμβου δ' ἐπ' ὄχθῳ, τὰ ἑξῆς τοῦ λόγου. Ἐξικνούμεθα. ] ἀκουόμεθα, εἰσακουσθῆναι δυνάμεθα. Κἄν που δὶς εἴπω ταὐτόν. ] κἄν τι ἐλάχιστον ῥῆμα ἢ περιττὸν εὕρῃς καὶ παρέλκον ἐν τῷ λόγῳ ἀπὸ τῆς στοιβῆς τῶν φορτίων. Ἦν Οἰδίπους ] ἐξ G Ἀντιγόνης Εὐριπίδου. ἔστι δὲ ἀρχὴ τοῦ δράματος. Ἀποκτενεῖν τὸν πατέρα. ] παρὰ τὰ Εὐριπίδου ἐν Φοινίσσαις εἰρημένα περὶ Οἰδίποδος καὶ Λαΐου.

Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.
Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς.

καὶ ὁ χρησμὸς δὲ οὕτως ἔχει,

Λάϊε Λαβδακίδη παίδων γένος ὄλβιον αἰτεῖς,
Δώσω τοι φίλον υἱὸν, ἀτὰρ πεπρωμένον ἐστί.
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας.
Οὗ φίλον ἥρπασας υἱόν. ὁ δ' ηὔξατό σοι τάδε πάντα.

Πρὶν καὶ γεγονέναι. ] ἢ τὸ φῦναι καὶ γεγονέναι ἐκ παραλλήλου ἐστὶν, ἢ συνάπτε τὸ φῦναι πρὸς τὸ ἔφυ. τὸ δὲ γεγονέναι πρὸς τὸ ἀποκτενεῖν. εἰ δέ τις εἴποι ὡς μετὰ τὸ γεννηθῆναι καὶ εἰς ἀνδρὸς ἡλικίαν ἐλθεῖν τοῦτον ἀπέκτεινεν, ἐροῦμεν ὅτι ἐξ οὗ ἐσπάρη μετὰ τὸ ἀνῃρημένον ἦν ὁ Λάϊος. τὸ δὲ ἐπαύσατο. οὐκ ἐπὶ τοῦ ἀεὶ δυστυχοῦντος, ἀλλ' ἐπὶ τοῦ G πρόσθεν μὲν εὐδαιμονοῦντος, ὕστερον δὲ προσκεκρουκότος τῇ τύχῃ. Χειμῶνος ὄντος. ] τοῦτο ἔχει διασκευὴν παρ' αὐτῷ, τὸ χειμῶνος ὄντος. τὸ δὲ ἐν ὀστράκῳ, ἐπεὶ ἐν χύτραις ἐξετίθεσαν τὰ παιδία, διὸ καὶ χυτρίζειν ἔλεγον. ἠρρῆσε δὲ ἀπὸ τοῦ ἐρρεῖν τοῦ σημαίνοντος τὸ μετὰ φθορᾶς ἐλθεῖν.

BISETVS. Χειμῶνος ] Εὐριπίδης ἐν τῷ τῶν φοι-